## *ΟΡΓΗ*

### 303 (363 K)

Athenaevs 166 a. *καὶ Μένανδρος δ' ἐν Ὀργῆι περὶ αὐτοῦ τάδε λέγει·*

*καίτοι νέος ποτ' ἐγενόμην κἀγώ, γύναι,*
*ἀλλ' οὐκ ἐλούμην πεντάκις τῆς ἡμέρας*
*τότ', ἀλλὰ νῦν. οὐδὲ χλανίδ' εἶχον, ἀλλὰ νῦν.*
*οὐδὲ μύρον εἶχον, ἀλλὰ νῦν. καὶ βάψομαι*
*καὶ παρατιλοῦμαι νὴ Δία καὶ γενήσομαι*
*Κτήσιππος οὐκ ἄνθρωπος ἐν ὀλίγωι χρόνωι,*
*κᾆιθ' ὡς ἐκεῖνος κατέδομαι καὶ τοὺς λίθους*
*ἁπαξάπαντας, οὐ γὰρ οὖν τὴν γῆν μόνην.*

### 304 (364 K)

Athenaevs 243 a. *καὶ Μένανδρος αὐτοῦ μνημονεύει ἐν Κεκρυφάλωι κἀν τῆι Ὀργῆι δέ φησι·*

*διαφέρει Χαιρεφῶντος οὐδὲ γρῦ*
*ἄνθρωπος, ὅστις ἐστίν, ὃς κληθείς ποτε*
*εἰς ἑστίασιν δωδεκάποδος ὄρθριος*
*πρὸς τὴν σελήνην ἔτρεχε τὴν σκιὰν ἰδὼν*
*ὡς ὑστερίζων καὶ παρῆν ἅμ' ἡμέραι.*

## *ΠΛΟΚΙΟΝ*

### 333 (402 K)

Avlvs Gellivs ii. 23. 9. Menander sic:

*ἐπ' ἀμφότερα νῦν ἡ 'πίκληρος ἡ κ⟨αλὴ⟩*
*μέλλει καθευδήσειν. κατείργασται μέγα*
*καὶ περιβόητον ἔργον· ἐκ τῆς οἰκίας*